UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Hermino Comiti. 219.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

ἀλιτήριος παρανόμως εἰς ταύτην εἰσκώμασεν, οὐ δήπου τοῦτον παρὰ θεοῦ κεχειροτονῆσθαι φαμὲν, ἀλλὰ συγκεχωρῆσθαι, ἢ πρὸς τὸ πᾶσαν τὴν οἰκείαν πονηρίαν ὥσπερ ὁ Φαραὼ ἐξεμέσαι· καὶ οὕτως δίκην δοῦναι τὴν ἐσχάτην, ἢ πρὸς τὸ σωφρονίσαι τοὺς ὠμότητος δεομένους, ὥσπερ ὁ Βαβυλώνιος τοὺς Ἰουδαίους.

Ἡσαΐᾳ. σιζ.

Δίκη, ὦ τί σε καλέσας ἀξίως προσείπω, τὰ θνητῶν πράγματα ἐποπτεύει, τιμωρὸς τῶν ἄδικα πραττόντων. καὶ οὐκ ἔστιν ἀνεπιτρόπευτα τὰ τῇδε. τοῦτο οὖν γνοὺς, φεῦγε τὸ ἀδικεῖν, ἵνα καὶ τὴν τιμωρίαν διαφύγοις.

Ἑρμογένει ἐπισκόπῳ. σιζ.

Ἐπειδὴ γέγραφας, ὡς εὖ ποιῶν πάντα τρόπον ἑστιῶν σε, καὶ ἀπὸ τῆς ἐμαυτοῦ γλώττης ἐπὶ τὰς σὰς ἀκοὰς, διὰ διδασκαλίαν ἀξιαφήγητον μετοχετεύων· ἀντεπιστέλλω, ὅτι εἴ τι ἐπιστέλλεται παρ' ἡμῶν δεξιὸν, τοῦτο τῆς ἄνωθεν εἶναι νόμιζε χάριτος, τῆς καὶ ἰδιώτας σοφιζούσης.

Ἑρμίνῳ κόμητι. σιθ.

Νυνὶ μᾶλλον ὅτε ἀρχῆς ἐπέβης, ἀοίδιμος ἂν γένοιο καὶ ζηλωτὸς, εἰ τοὺς ἀδικήσαντας μὴ ἀμύνῃ, ἀλλὰ καὶ νῦν μάλιστα πάντων τῶν λυπηρῶν λήθην ποιήσῃ, ὅτε μάλιστα τὸ δύνασθαί σε αὐτοὺς τιμωρῆσαι παρέχει ἡ τῆς ἀρχῆς ἐξουσία.

Ἡρακλείδῃ ἐπισκόπῳ. σκ.

Ὁ τῇ πείρᾳ τὴν φήμην ὑπερβαίνων, καὶ κρείττων ἀκοῆς εἰς θέαν ἐρχόμενος, οὗτος εἰκότως, καὶ ἐγκωμίων κρείττων ἐστὶν, ἐλέγχων τοὺς λόγους, ὡς τῆς ἑαυτοῦ ἀξίας καταδεεστέρους. ἀλλ' ἐπειδὴ εἰ καὶ ἡττῶνται οἱ λόγοι, χρὴ

dicimus, verùm permiſſum eſſe: quo nimirum aut Pharaonis in modum improbitatem omnem ſuam euomat, atque ita extremo ſupplicio excrucietur, aut eos, qui crudelitate opus habent, ad meliorem mẽtem reuocet, quemadmodum Rex Babylonis Iudæos.

Eſaiæ. 217.

Vis numinis vltrix (ô quonam te nomine dignè appellem!) mortalium res inſpectat, eos qui ſcelerati aliquid admittunt, puniens. Nec res humanæ eo ſtatu ſunt, vt nemo eas curet ac moderetur. Hoc igitur cùm cognitum & exploratum habeas, iniuſtitiam fuge, vt pœnã quoque fugias.

Hermogeni Epiſcopo. 218.

Quoniam ſcripſiſti me, vt par eſt, omni ratione te paſcere, atque à lingua mea in tuas aures per doctrinam commemoratione dignam deriuo, illud reſcribo, quòd ſi quid commodi atque eruditi à me ſcribitur, hoc diuinæ ac cæleſtis gratiæ eſſe exiſtimare debes, quæ rudes etiam & imperitos ſapientes efficit.

Hermino Comiti. 219.

Nunc cùm ad imperium euectus es, maiorem tibi nominis celebritatem atque admirationem comparabis, ſi eos, à quibus iniuria affectus es, minimè vlciſcaris: ac nunc maximè omnes moleſtias obliuioni mandes, cùm maximè ipſos vlciſcẽdi poteſtatẽ imperij licentia tibi præbuit.

Heraclidi Epiſcopo. 220.

Qui experimento famam ſuperat, cuiúſque aſpectus & præſentia rumorem antecellit, hic demum meritò laudes etiam vincit, ſermones coarguens, vt dignitate ſua inferiores. Verùm quoniam, & ſi ſermones vincuntur, mentem tamen victo-